Ακαδημία Αθηνών / Academy of Athens

**μαίνεσθαι 1.** Μαίνομαι/εἶμαι τρελλός, be maddened, Ἡράκλειτος 5 *μ α ί ν ε σ θ α ι δ' ἂν δοκοίη, εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιέοντα* **2.** Μαίνομαι/κατέχομαι ἀπὸ βακχεία, be possessed by bacchic frenzy, Ἡράκλειτος 15 *ὡυτὸς δὲ Ἀίδης καὶ Διόνυσος, ὅτεῳ μ α ί ν ο ν τ α ι καὶ ληναΐζουσιν* 92 *Σίβυλλα δὲ μ α ι ν ο μ έ ν ῳ στόματι ... ἀγέλαστα... φθεγγομένη* **3.** Μαίνομαι/εἶμαι μανιασμένος, be infuriated, Ἐμπεδοκλῆς 115.14 *νείκεϊ μ α ι ν ο μ έ ν ῳ πίσυνος.*

**μάκαρες 1.** Οἱ μακάριοι/οἱ θεοί, the blessed/the gods, Ἐμπεδοκλῆς 115.6 *τρίς μιν μυρίας ὥρας ἀπὸ μ α κ ά ρ ω ν ἀλάλησθαι* **2.** Μακάριοι, blessed, Ἐμπεδοκλῆς 131.4 *ἀμφὶ θεῶν μ α κ ά ρ ω ν ἀγαθὸν λόγον ἐμφαίνοντι.* Πρβλ. *θεός.*

**μακαρίζειν.** Μακαρίζω/καλοτυχίζω, bless/call fortunate, Δημόκριτος 191.14-20 *μ α κ α ρ ι ζ ο μ έ ν ο υ ς ὑπὸ τῶν ἄλλων ἀνθρώπων ... μ α κ α ρ ί ζ ε ι ν ἑωυτόν.*

**μακραίων.** Μακραίων/μακροχρόνιος, long-lasting, Ἐμπεδοκλῆς 115.5 *δαίμονες οἵτε μ α κ ρ α ί ω ν ο ς λελάχασι βίοιο.*

**μακρὸς 1.** Μακρύς/βαθύς, long/deep, Ἐμπεδοκλῆς 54 *αἰθὴρ ⟨δ' αὖ⟩ μ α κ ρ ῇ σ ι κατὰ χθόνα δύετο ῥίζαις* **2.** Μακρύς/ὑψηλός, long/tall, Ἐμπεδοκλῆς 72 *πῶς καὶ δένδρεα μ α κ ρ ὰ καὶ εἰνάλιοι καμασῆνες* **3.** Μακρὺς/ἐκτεταμένος, long/extended, Δημόκριτος 230 *βίος ἀνεόρταστος μ α κ ρ ὴ ὁδὸς ἀπανδόκευτος* Ἀρχύτας 1.53 *τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τ ῶ μ α κ ρ ῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρόν.*

**μάλα.** Πολύ, much, Ξενοφάνης 2.13 *εἰκῇ μ ά λ α τοῦτο νομίζεται* Ἡράκλειτος 35 *χρὴ γὰρ εὖ μ ά λ α πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι* Παρμενίδης 8.3-28 *ταύτῃ δ' ἐπὶ σήματ' ἔασι πολλὰ μ ά λ', ὡς ... τῆλε μ ά λ' ἐπλάχθησαν* Ἐμπεδοκλῆς 22.8 *ἀήθεα καὶ μ ά λ α λυγρὰ* 110.3 *ταῦτά τέ σοι μ ά λ α πάντα δι' αἰῶνος παρέσονται* 114.2 *μ ά λ α δ' ἀργαλέη γε τέτυκται.*

**μαλθακός** (ἀντίθ. *σκληρός*). Μαλακός, soft, Μέλισσος 8(3) *τὸ σκληρὸν μ α λ θ α κ ὸ ν καὶ τὸ μ α λ θ α κ ὸ ν σκληρόν.*

**μάλιστα.** Μάλιστα/πάρα πολύ, most, Δημόκριτος 232 *τῶν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἡδέων τὰ σπανιώτατα γινόμενα* μ ά λ ι σ τ α *τέρπει* 264 *ἀλλ' ἑωυτὸν* μ ά λ ι σ τ α *αἰδεῖσθαι* 277.5 *καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, κἂν* μ ά λ ι σ τ α *κατὰ φύσιν ἕποιτο* 279.1 *τοῖς παισὶ* μ ά λ ι σ τ α *χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα.*

**μᾶλλον.** Μᾶλλον/περισσότερο, more, Παρμενίδης 8.23-48 *οὐδέ τι τῇ* μ ᾶ λ λ ο ν, *τό κεν εἴργοι μιν συνέχεσθαι, οὐδέ τι χειρότερον ... τῇ* μ ᾶ λ λ ο ν *τῇ δ' ἧσσον* Δημόκριτος 244 *φαῦλον, κἂν μόνος ἧς, μήτε λέξῃς μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ* μ ᾶ λ λ ο ν *τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι* 254 *οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν* μ ᾶ λ λ ο ν *ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ* μ ᾶ λ λ ο ν *ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται* 257 *κατὰ δὲ ζῴων ἔστιν ὧν φόνου καὶ μὴ φόνου ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν* μ ᾶ λ λ ο ν *ἢ μὴ* 264 *μηδέν τι* μ ᾶ λ λ ο ν *τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ μηδέ τι* μ ᾶ λ λ ο ν *ἐξεργάζεσθαι κακὸν* 265 *τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται* μ ᾶ λ λ ο ν *ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως.*

**μανθάνειν 1.** Μαθαίνω/ἀποκτῶ ἕξη, learn/acquire a habit, Ξενοφάνης 3.1 *ἁβροσύνας δὲ* μ α θ ό ν τ ε ς *ἀνωφελέας παρὰ Λυδῶν ... ἦσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες* Δημόκριτος 244 *φαῦλον, κἂν μόνος ἧς, μήτε λέξῃς μήτ' ἐργάσῃ·* μ ά θ ε *δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι* **2.** Μαθαίνω/ἀποκτῶ γνώσεις, learn/acquire knowledge, Ξενοφάνης 10 *ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ* μ ε μ α θ ή κ α σ ι *πάντες* Ἡράκλειτος 17 *οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ* μ α θ ό ν τ ε ς *γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι* Παρμενίδης 8.52 *δόξας δ' ἀπὸ τοῦδε βροτείας* μ ά ν θ α ν ε *κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων* Ἀρχύτας 3.1-3 *δεῖ γὰρ ἢ* μ α θ ό ν τ α *παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα ... τὸ μὲν ὦν* μ α θ ὲ ν *παρ' ἄλλω καὶ ἀλλοτρίᾳ, τὸ δὲ ἐξευρὲν δι' αὔταυτον καὶ ἰδίᾳ* **3.** Μαθαίνω/ἐννοῶ, learn/understand, Παρμενίδης 1.31 *ἀλλ' ἔμπης καὶ ταῦτα* μ α θ ή σ ε α ι, *ὡς τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα* **4.** Μαθαίνω/συνηθίζω, learn/become familiar with, Ἐμπεδοκλῆς 17.9 *καὶ* 26.8 *οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων* μ ε μ ά θ η κ ε *φύεσθαι ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι* 35.14 *αἶψα δὲ θνήτ' ἐφύοντο, τὰ πρὶν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ